ἀρρενογόνον καὶ ἀνενδεὲς καὶ ἄτρωτον. τὸ δὲ παγχρύσεον μὲν τὴν
θέσιν καὶ πέπονθε καὶ ἐπέθη τοῖς ἄλλοις καὶ τῷ λόγῳ· καὶ ἅμα
καὶ ὕδωρ ἐξήντλει· καὶ ἐν ζῶον ἐκφύσεσι· λοιπὸν ἐν ἱκανῶς
δι' ἀποπνεῖ λέγοντος· ἄφθαρτος μὲν τὴν χάριν ὑπὲρ χάριν περὶ τὴν σάρκα·
νόησον ὅτι τὴν φθορὰν τοῦ αἵματος λέγεται τὸ ἄφθαρτον· ἤτοι
ἀμίαντον· καὶ ὅτι λεπτότατα τινὰ καὶ ἄλλο τειότατα τῶν
ἡμετέρων σωμάτων: ἀφορολόγητος, τὸ μὴ τελωνοφόρον· ἀφόρητος,
ἀβάστακτον· ἄφερτον, ἀνεκδιήγητον: ἀφαιρέματα, τὰ ἀπὸ τῶν
ἱερείων ἀφαιρούμενα μόρια· τὸ στηθύνιον· τὸν δεξιὸν βραχίονα· καὶ τὸν λο-
βὸν τοῦ ἥπατος. τοῦ θεολόγου· ὅσα περὶ θυσιῶν καὶ καθαρσίων καὶ
ἀφαιρεμάτων νενομοθέτηται· θυσιῶν οἷα τὰ πρόβατα· τοὺς μόσχους·
τὰς τρυγόνας· τὰς περιστεράς· καθάρσια δὲ, τὰ διὰ τῶν αἱμάτων ἢ
τῶν σποδῶν καθάρσια: ἀφέξομαι, παύσομαι. ἀφορῶντες, ἀποβλέποντες:
ἀφιέρωσαν, ἀφῆκαν τῷ θεῷ: ἀφίστασθαι, ἀποχωρίζεσθαι.
ἀφοσιώθητε, μονώθητε· ἱερέως καὶ ἀφοσιωθῆτε λέγεται καὶ· ἀφοσιοῦ-
σθαι, πληροφορῆσαι, τοῦ θεολόγου· ὅσον ἀφοσιοῦσθαι τὸν καιρόν:
ἀφαρ εὐθέως. ἀφαρί, ἐσπουδασμένως καὶ ἀπερισκέπτως
τὸ ποιεῖν: ἀφραδέως, ἀνοήτως: ἀχράδος, ὁ ἀχρήστος: ἀχώρ,
ἡ πιτυρίδα· ἄχνη, τὰ λεπτότατα ὕδατός τε καὶ ξηροῦ: ἀχυρμιαί,
αἱ ἀχυρῶνες: ἀχαιοί, οἱ ἕλληνες. ἤγουν τὰ περὶ τὴν κόρινθον.
ἀχείρωτος, ἀμίαντος, ἀμόλυντος· ἀχειρότονος φῶς· ὁ χριστός· ἀχώρητος, τὸ πάντα μὲν
περιέχον ὑπ' οὐδενὸς δὲ περιεχόμενον: ἀχείρητος, τὸ ἄληπτον,

κατὰ γὰρ τὰ ἐνδέοντα: